UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Eulampio. 297.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

ἀφθαρσίας ταμιείῳ σταυρὸν καὶ τάφον ἐπήγαγον. ὧν ἀμφοτέρων ὑφ' ἑνὶ χρόνῳ παρέσχον τὴν κόλασιν.

mortalitatis promptuario crucē ac ſepulturam inducebant. Quorum amborum ſcelerum pœnam vno atque eodem tempore pependerunt.

Ὠρίωνι. σϞγ.

Οἴνῳ τὸ εὐαγγελικὸν κήρυγμα ὁ θεῖος αἰνίγματι χρησμὸς ὁμοιοῖ, ποτὲ μὲν ἐκ τῆς δεσποτικῆς πηγάζοντι πλευρᾶς, ποτὲ δὲ ὡς γλεύκει στομοῦντι τοὺς μαθητάς, οὗ τῆς εὐφροσύνης ἀστοχήσαντες Ἰουδαῖοι, καὶ τρίψαι τὴν ἀλήθειαν φιλονεικήσαντες ψεύδει, ὄξος τῷ τῆς σοφίας προσήνεγκαν διδασκάλῳ, συμπλέξαντες αὐτῷ καὶ πικρίαν. ὧν γὰρ τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, τοιαῦτά ἐστι καὶ τὰ πόματα, τὸν φυτουργὸν τῆς ζώσης ἀμπέλου, ὄξει ἀμειβομένων, καὶ τὸν γλυκάναντα λόγοις θείοις καὶ νόμοις ὡς μέλιτι, πικρίᾳ χολῆς δεξιουμένων.

ἐν αἴματι. τρέψαι.

Orioni. 293.

Diuinum oraculum Euangelicam prædicationē vino confert, quondam quidem ex Dominico latere profluenti, quondam autem, muſti inſtar diſcipulos acuenti ac roboranti. Cuius lætitiam cùm Iudęi conſecuti non eſſent, ac veritatem mendacio fucare ſtuderent, ſapientiæ Magiſtro acetum obtulerunt, admixta ei amaritudine. Quorum enim os maledictione & amaritudine, plenum eſt, eiuſmodi quoque ſunt eorum potiones, viuæ vineæ conſitorem aceto remunerantium, eúmque, qui diuinis ſermonibus ac legibus tanquam melle eos educarat, fellis amaritudine excipientium.

Pſal.

Γεροντίῳ. σϞδ.

Εἰ τῶν πολεμίων βούλει κρατεῖν, ἄγε τὸ στρατόπεδον φόβῳ θεοῦ. δικαιοσύνη γὰρ φέρει τὴν ἀριστείαν: ἡ δὲ ἡμῶν ἀδικία, τῶν ἐναντίων ἐστὶ συμμαχία.

Gerontio. 294.

Si hoſtes vincere cupis, Dei metu exercitum ducito. Iuſtitia enim hoc affert, vt quis ſtrenuè ac feliciter pugnet. Contrà, iniuſtitia noſtra, hoſtium eſt auxilium.

Προαιρεσίῳ. σϞε.

Ὅρον τῇ φύσει ὁ πλάστης ἐνέθηκε, καὶ φόβον ὁ νόμος τοῖς κακοσχόλοις ἠπείλησεν. ὅσοι τοίνυν τοῖς ὅροις ἐμμένουσι, τὴν φύσιν ἐτίμησαν. ὅσοι δὲ τὸν νόμον παρώσαντο, τὸν φόβον ἐδέξαντο.

Proæreſio. 295.

Creator terminum naturæ impoſuit: ac metum lex malè feriatis minata eſt. Quocirca qui præſcriptis finibus ſe continent, naturā honore proſequuntur. Qui autem legem propulerunt, metum acceperunt.

Τῷ αὐτῷ. σϞϛ.

Φύσις ἔχει τὴν ἔννομον μίξιν. ἡ πορνεία ἐφεῦρεν ἐπίβουλον λύτταν. οἱ τοίνυν ἀνόμως τῶν τῆς φύσεως ὅρων καταλυττήσαντες, τῷ φόβῳ τοῦ νόμου σωφρονεῖν ἐπαιδεύθησαν.

Eidem. 296.

Natura legitimum concubitum habet: ſcortatio autem inſidioſam rabiem excogitauit. Quamobrem qui iniquè, ac rabido quodam furore, naturæ limites exceſſerunt, hos legis terror ad pudicitiæ ſtudium erudiuit.

Εὐλαμπίῳ. σϞζ.

Τί σοβεῖς τὴν πόλιν ἀλαζών; τί τὸν

Eulampio. 297.

Quid inſolenter per vrbem graderis, ho-

mo arrogans? Quid quietam ac pacatam vitam turbas? Quid manſuetudini bellum infers, nec Deum metuens, nec flagitij tui pudore ſuffuſus? Nam quia probum virum necaſti, multę te linguę proſcindunt. Quoniam autem, perinde atque improbo quodam viro de medio ſublato, huiuſmodi cæde gloriaris, plures te rurſum tragicis verbis inſectantur. Animaduerte igitur, ô ſtolide, num vt Moſes cædem perpetraris, aut, vt Phinees, zelo exarſeris, aut, vt Samuel, diuinam iniuriam vltus ſis, aut, vt Elias, impietatis vindicem te præbueris: ac tum ob admiſſum facinus magnificè de te ſenti. Quòd ſi nec lex vlla te deſignauit, nec belli ordo armauit, nec diuinum oraculum te ad tribulis tui profundendum ſanguinem immiſit, ſatius tibi nunc fuerit, vt imbutas cruore manus tuas expies, cruorem tuum effundendum dedas, quàm vt animo ſcelus retineas, ac futuræ vitæ tribunalibus ad ſempiternum cruciatum ſerueris.

ἤρεμον βίον κυκᾷς; τί τὴν ἐπιείκειαν ἐκπολεμεῖς, οὔτε τὸν θεὸν φοβούμενος, οὔτε τὴν οἰκείαν πρᾶξιν αἰσχυνόμενος; ὅτι γὰρ ἀπέκτεινας ἄνθρωπον χρηστὸν, πολλαί σε γλῶσσαι κωμῳδοῦσιν· ὅτι δὲ ὥς τινα τῶν φαύλων ἀνῃρηκὼς ἐναβρυνῇ τῷ φόνῳ, πλείονές σε πάλιν τραγῳδοῦσι. κατανόησον οὖν ἀσύνετε, εἰ ὡς ὁ Μωϋσῆς ἐφόνευσας, εἰ ὡς Φινεὲς ἐζήλωσας, εἰ ὡς Σαμουὴλ ἤμυνας θεῷ, εἰ ὡς Ἠλίας ἐξεδίκησας, καὶ τότε μέγα φρόνει ἐφ᾽ οἷς ἐτόλμησας. εἰ δὲ οὔτε νόμος σε τις ἐχειροτόνησεν, οὔτε πολέμου τάξις ἐξώπλισεν, οὔτε θεῖος χρησμὸς ἐπαφῆκε τῷ ὁμοφύλῳ σου αἵματι, καὶ αὐτοῖς τοῖς ἐχθροῖς ἀγάπην ἀπενδόμενος, καλόν σοι νῦν ἀφαιμάξαι τὰς χεῖρας ἐπιδόντι τὸ οἰκεῖον αἷμα πρὸς ἔκχυσιν, ἢ τηρῆσαι κατὰ ψυχὴν τὸ παράπτωμα, καὶ τοῖς ἐκεῖθεν δικαστηρίοις, πρὸς αἰωνίαν φυλάττεσθαι κόλασιν.

Lucæ Cœnobiarchæ. 298.

Λουκᾷ ἀρχιμανδρίτῃ. σϟη.

Clamauit perdix, congregauit quæ non peperit, diteſcens non cum iudicio, inquit Prophetarum omnium calamitoſiſſimus Hieremias, ſceleratum belli ducem deſcribens, aduerſus veritatem in extremis temporibus arma induentem, atque omnes item eos, qui temerario animo, ac non ad commodum & vtilitatem, militaris imperratoris munere funguntur. Cùm igitur hæc ita ſe habeant, ecquid tu, non monachorum, ſed pugnatorum globos ac phalanges paras? Æquum enim fuerit, te illud perſpicere, inconditæ turbæ deſidiã atque inertiã in cogitationum perturbationem prolabi. Quambrem aut eos operari doce, aut multitudinẽ hanc minue, ne alioqui tibi deprecationis labor ſubeũdus ſit, armíſque indigeas, cùm eos crapula cum otio coniuncta ad rerum nouarum ſtudium incitarit.

Ἐφώνησε πέρδιξ· συνήγαγεν ἃ οὐκ ἔτεκε. ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως, ὁ τῶν προφητῶν ἔφη πολυπαθέστατος Ἱερεμίας, τὸν ἄδικον στρατηγὸν διαγράφων, κατὰ τῆς ἀληθείας ἐν τοῖς ἐχάτοις καιροῖς ὁπλιζόμενον, καὶ πάντας τοὺς ἀκρίτῳ γνώμῃ, καὶ οὐκ εἰς ὄνησιν στρατηγοῦντας. εἰ τοίνυν ταῦθ᾽ οὕτως ἔχει, τί στίφη καὶ φάλαγγας εὐτρεπίζεις, οὐ μοναχῶν, ἀλλὰ μᾶλλον μαχητῶν. δίκαιος γὰρ ἂν εἴης συνιδεῖν, ὅτι ὀχλώδης ἀργία εἰς λογισμῶν ἐκπίπτει ἀταξίαν. ἢ οὖν ἐργάζεσθαι δίδαξον, ἢ τὸν δῆμον ἐλάττωσον, μή σοι πρεσβείας γένηται πόνος, καὶ ὅπλων δεηθῇς, ἡνίκα αὐτοὺς ὅταν κραιπάλη μετὰ τῆς χολῆς πρὸς νεωτερισμοὺς ἐρεθίσῃ.

Iſidoro præfecto. 299.

Ἰσιδώρῳ ἐπάρχῳ. σϟθ.

Si ex Deo pendemus, veniámque ab eo

Εἰ θεοῦ ἐξηρτήμεθα, καὶ συγχώρησιν παρ᾽